ῳοποιηθεὶς. τοῦ δὲ βασιλέως μέλλοντος τὸν αἶνον ἀνελεῖν ὡς εἰς πατέρα ἀσεβήσαντα, ᾐτήσατο ὁ αἴσωπος αὐτὸν συγχωρῆσαι, ἀπὼν μὴ τεθνεῶτα αὐτὸν ἔχειν. εἰς ἑαυτὸν γὰρ τῆς αἰσχύνης ἔχειν ἔφη τὸν θάνατον. ἐκείνῳ οὖν τὸ ζῆν συγχωρήσας ὁ βασιλεὺς τῷ αἰσώπῳ ἔφη, λαβὼν τὴν ἐπιστολὴν τοῦ βασιλέως αἰγύπτου ἀνάγνωθι. ἐπιγνοὺς δὲ ὁ αἴσωπος τὸ ζήτημα, μειδιάσας ἔφη, ἀντίγραψον αὐτῷ, ἐὰν ὁ χειμὼν παρέλθῃ, πέμψω σοι τοὺς τὸν πύργον οἰκοδομήσοντας, καὶ τὸν ἀποκριθησόμενόν σοι. γράψας οὖν ταῦτα ὁ βασιλεὺς ἀπέλυσε τοὺς πρέσβεις τῶν αἰγυπτίων. τῷ δὲ αἰσώπῳ ἅπαντα τὰ αὐτοῦ ἀποδοὺς, καὶ τὴν ἐξ ἀρχῆς διοίκησιν τῶν πραγμάτων ἐνεχειρίσατο. δοὺς αὐτῷ καὶ τὸν αἶνον ἔκδοτον. ὁ δὲ λαβὼν αὐτὸν, ἐνουθέτει λέγων, ἐπάκουσον τοὺς ἐμοὺς λόγους τέκνον καὶ φύλαξον ἐν τῇ καρδίᾳ

http://digital.slub-dresden.de/ppn346259193/92